# Καντακουζηνός. 1343 μ.Χ.

## Μυριόφυτον. Χώρα. Σεισμός

Καντακουζηνός Τ. Β΄ Βιβ. 3ο σ. 476.

Βασιλεὺς δὲ τὰ μὲν πρῶτα προσχωρήσαντα πολίχνια ἐπῄει καὶ καθίστη, καὶ πρὸς Μυριόφυτον ἐλθὼν ηὐλίσατο τὴν νύκτα ἐν οἰκίᾳ μεγάλῃ διωρόφῳ. ἤδη γὰρ διά τε τὴν βραχύτητα τῆς ἡμέρας· χειμὼν γὰρ ἦν· καὶ τὸ ἀνάγκην ἔχειν ἄχρι νυκτὸς ἐπιστῆναι ἠναγκάζετο· γὰρ ἦν ὅποι τὸν ἵππον ἀποβάντας ἄριστον αἴρεσθαι τῆς Θρᾴκης ἁπάσης ὑπὸ τοῦ πολέμου ἀοικήτου γεγενημένης πλὴν ὀλίγων πόλεων) . . . . . . . . . . αὐτίκα δὲ ἐπέστησαν (σ. 477) τὸν ἵππον . . . . ὅπερ ἐστὶ πολίχνιον σταδίῳ διέχουσαν Μυριοφύτου, χώραν προσαγορευομένην ἦλθον, ἐπεὶ μὴ προσχωρήσασαν, πέμψας οὖν ὁ βασιλεὺς προετρέπετο ἐπ' ἐλπίσι καὶ εἰρήνης προσχωρεῖν. οἱ δὲ . . . . κακῶς ἤδη ἔφασαν αὐτὸν . . . . . . . . ἕτερον ἔφασαν ἐκεῖνοι βασιλέα ἔχειν. . . . . . . . . . ἔτι δὲ περὶ τὰς ὕβρεις ἐκείνων ὄντων, σεισμὸς ἐγένετο ἐξαίσιος οἷος, καὶ τά τε τείχη κατέπεσε τῆς πόλεως καὶ τῶν οἰκιῶν ὑπὲρ τὰς δύο μοίρας, καὶ κατεχώσθησαν ὑπό τε τῶν τειχῶν καὶ τῶν οἰκιῶν ὑπὲρ τριακοσίους. ὅσοι δὲ διέφυγον τὸν κίνδυνον, βασιλεῖ προσέδραμον ἐξελθόντες, καὶ ἐδέοντο μὴ σφᾶς καὶ τέκνα περιιδεῖν ὑπὸ τῶν βαρβάρων ἀνδραποδισθέντας ἄν. τῆς αὐτῆς δὲ ὥρας ὑπὸ τοῦ σεισμοῦ ἐκείνου καὶ ἡ οἰκία, εἰς ἣν ηὐλίσατο ὁ βασιλεὺς τὴν νύκτα κατέπεσεν ἐκ θεμελίων, καὶ ἡ περὶ βασιλέα τοῦ θεοῦ πρόνοια ἐγένετο καταφανής . . . . ἡ γὰρ ὥσπερ οἱ

418

# Καντακουζηνὸς 1343 μ.Χ.

## Γέρμαι. Χώρα.

σ. 478 περὶ αὐτὸν ταραχὴν, ἀφῆκαν ἐπ' αὐτὸ ἐκεῖ, ὅθεν ἂν ἐκώλυσε
μὴ αὐτόν τε καὶ τῶν συνόντων τινὰς ὀλίγους ὑπὸ τῆς οἰκίας κα-
ταχωσθῆναι. . . . . . . . . . . τῆς δὲ περὶ αὐτὸν στρατιᾶς
ὡρμημένης τὴν πολίχνην ὡς πολεμίαν διαρπάζειν καὶ
τὸν Πέτρον τὸν ἐπιβεβουλευμένον ἀνδραποδίζειν ἐπιχειροῦν-
των, ἐκώλυσεν ὁ βασιλεὺς εἰπὼν καὶ περιέσωσε τὴν πο-
λίχνην. καὶ δίκαιος ἀπεδίδου εὐχαριστίας τῷ θεῷ, τό τε ἀπὸ
τῆς καταπεσούσης οἰκίας αὐτόν τε καὶ τοὺς συνόντας περισωθῆ-
ναι, καὶ τὸ τὴν Χώραν ὅλως ἑτοίμην παρουσιασμένην ἐπὶ τὴν δι-
αρπαγὴν περισῶσαι δυνηθῆναι. ἔπειτα . . . . . .
. . ἄρχοντας ἐπιστήσας, οἳ τὰ τείχη ἀναστήσουσιν, ἀπῆρεν ἐ-
κεῖθεν πρὸς τὰς ἄλλας πόλεις. οἱ δὲ ἐπιτεταγμένοι πρὸς τὸν
τειχισμὸν κατὰ τὸ βασιλέως πρόσταγμα πολλὴν φιλοτιμίαν ἐ-
ποιοῦντο, ἐν ὀλίγῳ χρόνῳ τῶν προτέρων ἀνέστησαν βελ-
τίω καὶ ἐρρωμενέστερα. ἐπεὶ δὲ οὐδενὸς ἐνέδει πρὸς ἀσφάλει-
αν αὐτοῖς, ἐπιβουλεύσαντες οἱ κατὰ τὴν πολίχνην, ἐξήλα-
σαν τοὺς βασιλέως αὐτοῦ καὶ βασιλίδι προσεχώρησαν. καὶ πρὸς πολ-
λῶν δυσχερῶν ἐλθόντες πεῖραν, ἄχρις οὗ καὶ Βυζαντίου βασιλεὺς
ἐκράτησε, διέμειναν πολιορκούμενοι καὶ κακῶς πάσχον-
τες ὑπὸ τῶν περιοικίδων πόλεων.
οἱ. Βασιλὶς δὲ ἡ Ἄννα καὶ ὁ παρακοιμώμενος πυνθανόμενοι ὁ-
ρῶντες ἤδη Καντακουζηνὸν τὸν βασιλέα καὶ πόλεις τε ὑπο-

Καντακουζηνός 1344 μ.Χ.

Ἡράκλεια. Ἀπόκαυκος. Χαριτούπολις. Ἄσπρες.

ποιησάμενον πολλὰς κ(αὶ) στρατιὰν οὐκ ὀλίγην ἔχοντα, νομί- σ 478-79
σαντες ἀπορίᾳ τῶν κωλυσόντων αὐτὸν κυρῆσθαι, τὸν μέγαν
δοῦκα στρατηγὸν αὐτοῖς ἐψηφίσαντο, κ(αὶ) ἐπέτρεψαν τὸν πρὸς ε-
κεῖνον πόλεμον. ὁ δ' εὐθὺς τὴν στρατιὰν ὅση ἦν παραλα-
βών, ἦλθεν ἐς Ἡράκλειαν. πυθόμενος δὲ περὶ βασιλέ-
ως, ὡς Χαριτουπόλει ἐνδιατρίβει ὀλίγῳ πρότερον προσχω-
ρησάσῃ, Λογγῖνόν τινα τῶν δεσμωτηρίων ἐξαγαγών, οὗ τῆς
ἐς βασιλέα ἕνεκα ἐδέδετο εὐνοίας, κ(αὶ) μεταπείσας
πολλαῖς ἐπαγγελίαις, κ(αὶ) συνηθῆ βασιλεῖ ἄγγελον, εἶ-
τα προδόσεως ἕνεκα ἐπρεσβεῦσε κ(αὶ) γράμματα πα-
ρέσχετο πρὸς βασιλέα. ἐδήλου δὲ τὰ γράμματα τοι-
αῦτα, ὡς πρότερον μὲν αὐτῷ Διδυμοτείχῳ ἐνδιατρί-
βοντι πεπρεσβευκὼς συνθέσθαι συγγενέσθαι . . . . .
. . . . . . . . . . . εἰ μὲν οὖν αὐτῷ πειθόμε-
νος ἐς τὴν οἰκίαν ἐπανέλθοι, κάλλιστ' ἂν ἔχοι. . .
. . . . . ὁ δ' ἑτέρως ἔγνωκε. . . . . αὐτὰ δὲ
φθῆναι ἄλλῳ ἔγνωκεν ἀντικαθίστασθαι. . . . . . .
. . . βασιλεὺς δὲ ἐπεὶ τὰ γράμματα ἀνέγνω, τὸν
ἄρχοντα Ἀσπρῶν, ὃς παρ' αὐτῷ ἦν, τῆς πόλεως προσ-
χωρησάσης, ἔπεμψε πρὸς αὐτὸν τοιαῦτα ἐπιστεί-
λας. « ἀνέγνων σου τὰ γράμματα, παρακοιμώ-
μενε, κ(αὶ) τὴν μὲν ἐγκειμένην μεγαλαυχίαν κ(αὶ) τὸν τῦφον σ 480

## Καντακουζηνὸς 1344 μ.Χ.

Ἀθύρας(?). Ἡράκλεια. Ἀλμυρὸς ποταμός. Σηλυβρία.
Δαφνίδιον. Τζουρουλοί(?). Λεηλασία ἐμφύλιος

σ. 480 θαυμάζειν μάλιστα ἐπῄει. (ἐν τῇ ἐπιστολῇ ὁ Καντακουζηνὸς συ-
γχαίρει ὅτι ὁ ἴδιος ἔχει τὴν εὔνοιαν κ. δύναμιν παρὰ τῷ βασι-
λεῖ [illegible] ἐπηγγέλθησαν αὐτὸν κ. ὅτι ἦλθεν ἀχαρι(?) ........
σ. 481 ........ πολλὰ δὲ μεταμεμέλημαι, ὅτι σε ἐνθάδε γέγονε παρε-
σκευασμένα τοσοῦτον πόνον ὑποστῆναι κ. πρὸς Ἡράκλειαν ἐλθεῖν, ἐ-
γὼ δὲ δεῖν σε τῶν πόνων ἀναπαύεσθαι, κ. τῇ τετάρτῃ ἡμέρᾳ
σ. 482 αὐτὸς ἀφίξομαι πρός σε, κ. εἰ σοι βέλτιον δοκεῖ διαγωνίσασθαι πο-
λεμικῆς ἀναπαύλης ἀπολαύσαντι ..... τοιαῦτα μὲν ἀντέγρα-
ψε κ. βασιλεύς. μετὰ δὲ τετάρτην ἐξ ἐκείνης ἦλθεν ἐς Ἡρά-
κλειαν κ. περιέμενε πρὸ τῶν τειχῶν ἕως ἐς ἱκανόν. ἐπεὶ δὲ
οὐδεὶς ἀντεπεξῄει, τὸ λοιπὸν ὀψίας τῆς ἡμέρας ηὐλίσατο τὴν νύ-
κτα παρὰ ποταμὸν προσαγορευόμενον Ἀλμυρόν, μεταξὺ Σηλυ-
βρίας κ. Ἡρακλείας. τῇ δὲ ὑστεραίᾳ δὲ ἐστρατοπέδευσαν πα-
ρὰ τὸ Δαφνίδιον λεγόμενον, ἔνθα βασιλεὺς μὲν ἔμενε παρὰ τὸ
στρατόπεδον ἅμα ὀλίγοις τῶν Ῥωμαίων, ἡ λοιπὴ δὲ στρατιὰ μετὰ
τῆς Περσικῆς τὰ περὶ Βυζάντιον καταδραμοῦσα πάντα ἄχρι
Προποντίδος κ. ἐκάκωσαν ὅτι μάλιστα. ἀπέκτεινάν τε γὰρ οἱ
βάρβαροι πολλοὺς κ. ἠνδραποδίσαντο, φεύγοντες δὲ πρὸς τὴν
θάλατταν, ἀπεπνίγοντο ἀναδεξάμενοι κ. πανταχόθεν ἦν ὁ ὄ-
λεθρος κατὰ τὴν ἔφοδον ἐκείνην. βασιλικαὶ(?) δὲ γὰρ ἤ-
λασαν πλῆθος τε ὀλίγον κ. ἀνθρώπους αἰχμαλώτους τὸ βαρβα-
ρικὸν κ. τὰς πόλεις τῶν κωμῶν ἐνέπρησαν, αἴτιαι δὲ μάλιστα.

Καντακουζηνος. 1344 μ.Χ.

Αἶνος. Ἑξαμίλιον. Καλλίπολις. Ἀδριανούπολις. Βιζύη

Λεηλασίαι εμφύλιοι. Απόκαυκος υἱος Μανουηλ. Βουκέλου φρούρια

της τοσαύτης φθορας εγένετο. ὁ μέγας δομ. . .

. . . . . . . . . . βασιλευς δε ουτω πεῖ- σ 483
ρας περι το Βυζάντιον διαδείξας κ κακώσας ες τα μά-
λιστα, ανέστρεψεν ες Θρᾴκην, κ πᾶσαι πόλεις αυτίκα προ-
σεχώρουν, την εκ Βυζαντίου βοήθειαν απογινώσκουσαι,
πλην Αἴνου κ Ἑξαμιλίου κ Καλλιουπόλεως, τους εν αυταῖ-
ς δε ἄρχοντας συναγαγων, οἳ παρα βασιλίδος ἦσαν
επιτετραμμένοι τας αρχας, κ πολλην περι αυτους εποιήσ-
ατο κ ἡμερότητα επιδειξάμενος, κελεύσας τε μηδένα
αποστερηθῆναι των ενόντων . . . . ες Βυζάντιον
απέστειλε, περι της ειρήνης αὐτης ου βασιλίδος μόνον
αλλα κ πατριάρχου κ των ἄλλων δεόμενος αρχόντων
. . . . .

ρη. Βασιλευς δε επει τας κατα την κάτω Θρᾴκην πό- σ.484
λεις πλην ολίγων ὑπεποιήσατο πάσας, επι την Αδριανου
εχώρει κ Βιζύην κ τας μέχρι Πόντου κ εκάστην καταστρέ-
ψων κ βιαζόμενος μη προσχωρούσας . . . . . . . .
. . . . . Απόκαυκος δε Μανουηλ ὁ του μεγάλου δουκος σ. 485
υἱος, της πόλεως ἔχων την αρχην, ὡς εἶδε τους τα βασιλέως
πράττοντας περιγενομένους εκείνων την πόλιν, ἦλθεν ες Βου-
κέλου φρούριον ου μακραν εκείνης κείμενον. Ὁ
Βράνας δε συγγενης ... μέτρια παρέχετο της

414.

# Καντακουζηνός 1344 μ.Χ.

Λεηλασία πόλεως. Ασώπαιμος. Βόλερον.
Αδριανούπολις Βιζύη.

σ. 485 πόλεως καὶ ἐσφάττοντο καὶ ἀπέθνησκον. οἱ δέ, ὡς ἤδη καθαρῶς τῆς πόλεως ἦσαν ἐγκρατεῖς, ἐτράποντο πρὸς ἁρπαγήν, καὶ τήν τε Βράνου καὶ τῶν ἄλλων διήρπαζον οἰκίας. ἔσφαττε καὶ πρὸς πότους καὶ ἐθελοντὰς διὰ τὴν νίκην ἑαυτοὺς ἐξέδωκαν. οἱ τε

σ. 486 νενικημένοι δὲ μεθύοντας καὶ παραφερομένους αὐτοὺς ὁρῶντες, ἀναθαρρήσαντες καὶ ἐπιθέμενοι ἀθρόοις καὶ μεθύουσιν, ἐκράτησάν τε ῥᾷστα καὶ ἀπέκτειναν αὐτῶν πολλούς· ἔνιοι δὲ ἐξήλασαν τῆς πόλεως, τοὺς δὲ λοιποὺς ἦγον πρὸς δεσμωτήρια ὑπὸ κλοιοῖς· καὶ ἡ πόλις αὖθις ὑπὸ Βράνῳ ἦν καὶ τοῖς πράττουσι τῆς βασιλίδος. καὶ Ἀσώπαιμον τὸν σφῶν ἄρχοντα συλλαβόντες ἦγον εἰς Βόλερον. . . . . . . . . .

. . . Ἀσώπαιμος δὲ Μάνκης ὁ τῷ μεγάλῳ δουκὶ οἰκεῖος πρὸς βασιλέα κρύφα πέμψας. . . . . . . . . .

. . . . . . . ἀκριβῶς τῶν γινομένων τὰς αἰτίας ἐξετάζοντα τοῦτον μὲν ἀδίκως πολεμούμενον εὑρίσκειν· ἐκείνους δὲ τὰ ἔσχατα ἀδικοῦντας οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ σύμπαντας Ῥωμαίους . . . . . . . . .

σ. 487 . . . . . . . τοιαῦτα μὲν Ἀσώπαιμος ὁ τῷ μεγάλῳ δουκὶ οἰκεῖος πρὸς βασιλέα κρύφα ἐπήγγελλε. . . . . . .

. . . . ἀσμένως δὲ ἐδέξατο ὁ βασιλεὺς καὶ τιμῆς ἠξίωσε καὶ εὐεργέτας ἐκάλεσε. μετὰ ταῦτα δὲ πρὸς ἡ Ἀδριανοῦ ἀντισχεθέντας ἐδίωξε, Βιζύη ἐπεστράτευσεν ἐπὶ βα-

Καντακουζηνός 1344 μ.Χ.

Λεηλασία επαρχίας. Βιζύη. Άσπρας.
Μητροπολίτης Βιζύης

σχεις καὶ επόρθει την χώραν· πρεσβείαν δε έπεμπε προς σ. 487.
την πόλιν, παραινών αυτοίς παραδιδόναι και μη κενής ελ-
πίδος ένεκα ζημίαν υπομένειν, διαφθειρομένων των α-
γρών· μετά γαρ των κακών την πείραν παραδώσειν
σιν ανάγκη προαχθέντες. Βιζυηνοί δε ήδη επηγγέλλοντο σφάς σ. 488
αυτούς και την πόλιν παραδιδόναι. . . . . . . . . αλλ' ευ-
φήμως και σωφρόνως απέβαλον την πρεσβείαν . . . . .
. . . . . . . . έχων δε την στρατιάν απάγειν . . . . .
. . . . . . . . . και ανέζευξεν ο Άσπρων . . . . .
. . . . . . . . . παρασκευ- σ. 489
αζομένου δε αύθις Βιζύην επιστρατεύειν έδοξε δειν πρό-
τερα πρεσβείαν στέλλεσθαι προς αυτόν. . . . .
. . . . . . . . . Βιζυηνοί δε επεί εδέξαντο την
πρεσβείαν, εκκλησίαν συναθροίσαντες εβουλεύοντο ά,τι δέ- σ. 490
οι πράττειν. και έδοξε πάσι ψήφω κοινή προσχωρείν τω βα-
σιλεί. . . . . . . . . πλην και Γραμματικόν Γεώργιον τον
άρχοντα αυτών εκέλευον ει μη βούλοιτο συν αυτοίς προ-
σιέναι βασιλεί . . . ες Βυζάντιον αποχωρείν . . . . .
. . συνεχώρει δε και ο μητροπολίτης δέος παρέχων.
Βιζυηνοί δε δύο τε των αρίστων αποστείλαντες και τε δήμε
και της εκκλησίας τοσαύτη ψήφω, προς βασιλέα πρέ-
σβεις έπεμπον και την πόλιν παρεδίδου . . . . . . . .

## Καντακουζηνὸς 1344 μ.Χ.

### Βιζύη.

σ. 491 Τοιαῦτα μὲν οἱ Βιζυηνοὶ ἐπρέσβευον. βασιλεὺς δὲ τῆς εὐ-
νοίας ἐπαινέσας, τοῖς τε πρέσβεσι δῶρα παρασχὼν, ἦλ-
θε πρὸς τὴν πόλιν, ἑπομένους ἄγων καὶ τοὺς πρέσβεις, καὶ ὁ
δῆμος ἅπας μετὰ τῶν ἀρίστων ἐξῆλθεν ἀπαντήσων, ἔ-
σω δὲ γενόμενος ἐγγὺς πύλης, πρῶτον μὲν εὐφήμουν Ἄν-
ναν τὴν βασιλίδα εὐφημοῦν, καὶ μετ᾽ ἐκείνην βασιλέα
τὸν υἱὸν, τρίτον δὲ μετ᾽ ἐκείνους αὐτόν τε καὶ Εἰρήνην βα-
σιλίδα τὴν γυναῖκα, καὶ ἐτελεῖτο ἡ εὐφημία κατὰ τὰ κε-
κελευσμένα. τὸν ἴσον δὲ τρόπον κἀν ταῖς ἄλλαις πόλε-
σιν ἐποίει· καὶ κατὰ τὰς ἱερὰς λειτουργίας ὁμοίως τὴν τῶν
βασιλέων μνήμην ἐκέλευε ποιεῖσθαι, εὐθὺς μὲν οὖν προ-
σεχώρει καὶ τὰ περὶ Βιζύην πολίχνια ὄντα οὐκ ὀλίγα,
καὶ πᾶσιν ὁ βασιλεὺς ἐφίστη ἡγεμόνας καὶ διῴκει, ᾗ αὐτῷ ἐ-
δόκει ἄριστα. Βιζύης δὲ ἄρχοντα κατέστησεν Ἀσάνην
τὸν Μανουήλ· ἦν γάρ τινα καὶ οἰκειότητα πρὸς τὴν πόλιν
ἀρχαίαν ἔχων. πρωτοστράτωρ γὰρ ὁ τούτου πενθερὸς
εἰς τὴν οἰκίαν ἔχων ἐξ ἀρχῆς κτήσεις τε πολλὰς καὶ
μεγάλας ἔσχεν ἐν αὐτῇ, καὶ τῶν συγγενῶν καὶ τῶν οἰκείων
εἰς πολλοὺς κατῴκισεν, ὑφ᾽ ὧν ἤγετο σχεδὸν ἡ πόλις. δι-
ὰ ταύτην δὴ τὴν οἰκειότητα καὶ πρὸς πρωτοστράτο-
ρα τὸν γαμβρὸν αὐτοῖς ἐπέστησεν ἄρχειν Ἀσάνην
σ. 492. τὸν Μανουήλ. πρωτοστράτωρ γάρ. μετὰ τὴν ἐν Γυναικο-

## Καντακουζηνός 1344 μ.Χ.

Γυναικόκαστρον. Βιζύη. Μητρόπολις Βιζύης.
Χαριούπολις. Ασώματος. Τούρκοι σύμμαχοι αυτ.

κάστρῳ τῆς βασιλίδος ἀναχωρήσαν ὑπὸ τῆς μεγάλης δυνάμεως πεζῆ- σ. 492
γα Γυναικοκάστρῳ . . . . . . . . . . . .
πατριάρχῃ δὲ τῶν Ἱεροσολύμων ἄρτι τότε ἐν Βυζαν-
τίῳ διατρίβοντι, ὑποπτευομένῳ καὶ πάλαι μέλλοντι κακῶς
καὶ ἀφιγμένῳ πρὸς αὐτὸν ὁ βασιλεὺς τὴν Βιζύης ἐν-
εχείρισεν ἐκκλησίαν, ὥστε τὰ τοῖς ἱεροῖς κανόσιν ἐνδεδο-
μένα πράττειν, ἐπεὶ ταύτης ὁ ἀρχιερεὺς ἀπεχώρει τῷ
βασιλέως ἀποστρεφόμενος ἐπιδημίαν. ἐπεὶ δὲ πάντα δι-
ῳκηκότο τὰ κατὰ τὴν Βιζύην βασιλεύς, αὖθις ἀνέζευ-
ξεν ἐπὶ Χαριούπολιν καὶ τὰς ἐκεῖσε προσχωρησάσας πό-
λεις τοῖς τε ὅπλοις ἐβιάζετο καὶ λόγους πιθανοὺς ἐπεχείρει πεί-
θειν προσχωρεῖν αὐτῷ . . . . . . . . . .
ή. Σαραγᾶς δὲ ὁ μέγας λογοθέτης . . . . . ἐπὶ τὸν γά- σ. 493
μον τῆς θυγατρὸς ὁ μέγας δοὺξ κατὰ τοὺς ὅρκους ἐκ ἀπο-
δίδωσι. . . . . . . . . τὴν νύμφην δὲ καὶ τὴν μητέρα
ἀπαναίνεσθαι διὰ τὴν πολυσαρκίαν. . . . . .
. . . σ. 494

πάλ. Βασιλεὺς δὲ Καντακουζηνὸς πυθόμενος ὡς βασιλὶς σ. 498
πρεσβείαν ποιοῖτο πρὸς Ορχάνην ἐπὶ συμμαχίαν, πέμψας
καὶ αὐτὸς ἔπραττεν ὅπως αὐτῷ μᾶλλον καὶ μὴ Βυζαντίοις
πρόσθοιτο, καὶ ᾕρετο Ορχάνης τὴν πρὸς Καντακουζηνὸν

Καντακουζηνός. 1344, 1345 μ.Χ.

Πέρσαι, Σωζόπολις. Δέρκοι. Δέρκου λίμνη
Ἐμπυρίτης φρούριον. Διδυμότειχον. Γυρολίμνης κώμη.
<u>Καμήλου γέφυρα</u> Λεηλασία συμμάχων Περσῶν.

σ. 498 τὸν βασιλέα μᾶλλον συμμαχίαν . . . . . . . .
τότε δὲ ἐκ τῆς Ὀρχάνη στρατιᾶς ἔχων συμμαχίαν, ταῖς πρὸς τὸν Πόντον πόλεσιν ἐπεστράτευσε καὶ εἷλε πάσας πλὴν Σωζοπόλεως. εἷλε δὲ καὶ τὴν ἐν τῇ Δέρκου τῇ λίμνῃ πόλιν καὶ φρούριον τὸ ἕτερον οὐ μακρὰν Βυζαντίου, Ἐμπυρίτην προσαγορευόμενον· ἅμα ἀνέστρεψεν ἐς τὴν οἰκίαν. . . .

σ. 499

. . . .

σ. 501. βασιλεὺς δὲ ὀλίγον Διδυμοτείχῳ ἐνδιατρίψας, σύμπασαν Ῥωμαίων, ὅσοι ὑπ' αὐτῷ ἦσαν, στρατιὰν συναγαγὼν καὶ Περσικὴν ὀλίγην ἐπαγόμενος, ἐπεστράτευσεν αὐτὸς Βυζαντίῳ καὶ πρὸς τὴν Γυρολίμνης λεγομένην κώμην ἐλθὼν ἔτι ὀλίγον μέρος τῆς ἡμέρας διελέγετο. . . . . . .
. . . . βασιλεὺς δέ, ἐπεὶ περὶ δείλην ἡ ἡμέρα ἤδη ἦν, παρὰ τὴν τῆς Καμήλου καλουμένην γέφυραν ἐστρατοπεδεύσατο ἐλθών. . . . . . τὸ πολὺ δὲ τῆς στρατιᾶς καὶ Ῥωμαίων καὶ Περσῶν ἐτράποντο ἐπὶ λεηλασίας . . . .
. . τὸ Περσικὸν δὲ ἠνδραπόδιζον καὶ τοὺς ἀνθρώπους.

# Καντακουζηνὸς 1345 μ.Χ.

Γῆρον. Ἀθύρας. Δημοκράνεια. Σηλυβρία.
Ἀπάμεια.; Ἐμπυρίτης. Δέρκοι. Διδυμότειχον
Ἀσώπαινας. Πεθεραγέρμα

. . βασιλεὺς δέ, ἐπεὶ μὴ ἀγνοεῖν τὰ πραττόμενα ἐνῆν, ἀγγέλων ἐκ Βυζαντίου ὁσημέραι μηνυόντων, τὸ δὲ Γῆρον εἷλεν ἐξ ἐφόδου πεζοῖς καὶ Ἀθύραν καὶ Δημοκράνειαν καὶ Σηλυβρίαν. μηνύσας δὲ Ἀπάμειαν, φρούριον τι κατεσκαμμένα τειχισθῆναι καὶ φρουρὰν καταλιπὼν ἐν Γήρῳ καὶ Ἀπαμείᾳ καὶ Ἐμπυρίτῃ καὶ τῇ πρὸς τῇ Δέρκῳ λίμνῃ πόλει, ὡς ἂν ταῦτα διατρέχων, ἐγγύθεν Βυζαντίου τῶν ἄλλων ἅπτοιτο . . . σ. 518.

. . . . . . .

καὶ σπονδὰς ἔπεμπε πρὸς Διδυμότειχον ἥκων (ὁ πρεσβευτὴς Λατῖνος) ἔχων καὶ τὰ γράμματα. . . . . . . σ. 521

. . Ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, καὶ ὁ μέγας δοὺξ στρατεύσας κατὰ Ἐμπυρίτου τοῦ φρουρίου καὶ πολιορκήσας ἐν ὀλίγαις ἡμέραις καὶ ἀποτειχίσας τὸν τοῖχον, ἐπεὶ μηδὲν ἐγένετο τῶν ἔνδον καρτερῶς ἀμυνομένων, αὖθις εἰς Βυζάντιον ἀπῄει καὶ πρὸς τῷ ἔργῳ γενόμενος, κατὰ τὸ στόμα τοῦ Πόντου κειμένην πόλιν ἐπεχείρει . . . . σ. 522

. . . . . . . . . . . .

βασιλεὺς δὲ αὖθις ἥκων εἰς Βυζάντιον στρατοπεδεύει καὶ πρὸ τῆς Χερσαίας πύλης ἐπ' ὀλίγον διελέγετο. ἐπεὶ δὲ οὐδὲν ἀνύειν ἔμελλεν, ἀναστρέψας ἐστρατοπέδευσεν ἐν τῇ Πεθερα-ρέᾳ. σ. 525

# Καντακουζηνός 1345 μ.Χ.

## Πετρογέφυρα· Αδριανούπολις. Τζερνομιάνου

σ. 525 κεχυμένων θέσιν, ποταμοῦ δὲ παραρρέοντος καὶ ἄφθονον τροφὴν τοῖς ἵπποις παρέχοντος τῷ τόπῳ . . . . . . .

. . . βασιλεὺς δὲ τοῖς ἐν Βυζαντίῳ φίλοις κρύφα διαλεχθείς, ἐπεὶ οὐκ ἦν αὐτοῖς εὔκαιρον πράττειν τι ὑπὲρ αὐτοῦ, αὖθις ἀνεχώρει. ὅθεν γὰρ ἦν ἐληλύθει ἐκεῖθεν ἀναχωρῶν. καὶ πρὸς τὴν Ἀδριανοῦ ἐλθόντι, εὐθὺς δὲ ἡ πόλις προσεχώρει, τοῦ ταύτης ἄρχοντος Παρασπονδύλου πράττοντος καὶ τὰ ἄλλα
σ. 526 προθύμως, ἃ περὶ αὐτὴν ὡς οἷον ἐνδέχεται ᾤκει. καὶ ἡ Τζερνομιάνου δὲ καὶ αὐτὴ προσεχώρησεν, ἀντέχειν πρὸς τὸν πόλεμον μὴ δυναμένη ἧς ἦρχεν ὁ Ἱέραξ τῶν οἰκετῶν ὢν βασιλέως Ἀνδρονίκου . . . . .

σ. 529 Ἱέρακι μὲν αὖθις τῆς Τζερνομιάνου παρέσχετο τὴν ἡγεμονίαν καὶ τῆς συναθροιζομένης στρατιᾶς. . . .